*Ὅσα δεῖ παραφυλάττειν, πρεσβευτοῦ μεγάλου ἐρχομένου Περσῶν.*

Δεῖ, μηνυομένου μεγάλου πρεσβευτοῦ, τὸν μάγιστρον πέμψαι εἰς τὰ μεθόρια ἕνα ἄρχοντα ἰλλούστριον ἢ σιλεντιάριον ἢ τριβοῦνον ἢ καὶ ἕνα τῶν ἐπισήμων, ἢ μαγιστριανῶν, ἢ ὃν ἂν συνίδῃ πρὸς τιμὴν τοῦ ἐρχομένου προσώπου πέμψῃ, ἵνα δέξηται καὶ διασώσει αὐτόν. ὁ δὲ πεμπόμενος εἰσέρχεται εἰς τὸ Νησίβιος, καὶ ἀσπάζεται αὐτόν, καὶ ἐὰν ἔχει γράμματα τοῦ βασιλέως, ἀποδίδωσιν· καὶ ἐξέρχεται σὺν αὐτῷ. δεῖ δὲ τοὺς ἄρχοντας τοῦ Δάρας ἀπαντῆσαι αὐτῷ μετὰ τῶν στρατιωτῶν ἐν τοῖς μεθορίοις καὶ δέξασθαι τὸν πρεσβευτὴν καὶ τοὺς ἀνθρώπους αὐτοῦ. . . .

οἱ δουκικοὶ δὲ κατὰ τὸ εἰωθὸς τὸ δαπάνημα τῆς ὁδοῦ μέχρι τῶν ἐνταῦθα ἡμερῶν ργ΄ ἐπιδιδόασιν. τοσαῦται γὰρ ἐξ ἀρχῆς ὁρίσθησαν ἀρκεῖν τῷ πρεσβευτῇ ἀνιόντι, καὶ τοσαῦται ἀπιόντι. ἔστιν δὲ ὅτε βραδύνῃ ἐν τῇ ὁδῷ, καὶ κελεύει ὁ βασιλεὺς, καὶ προσθήκη αὐτῷ γίνεται. ἡ δὲ γνῶσις τῶν ἐπιδεδομένων αὐτῷ σώζεται ἐν τῷ σκρινίῳ τῶν βαρβάρων. . . .

χρὴ δὲ ἐν τῇ πόλει προετοιμασθῆναι τὸ μητάτον αὐτοῦ πρὸς τὴν ἀξίαν τοῦ ἀνθρώπου καὶ τὸ πλῆθος, ὅπερ ἐπιφέρεται, καὶ εὐτρεπίσαι ἐν αὐτῷ κραββάτια καὶ στρώμματα καὶ κλιβάνια καὶ ἀρούλλας καὶ τραπέζας καὶ ὀπέρας, ὥστε ὑδροφορεῖν καὶ τὰς ἄλλας ῥυπαρὰς ὑπηρεσίας ὑπουργεῖν. ἀλλὰ τὰ μὲν στρώμματα ὁ κόμης τῶν τριβάτων κατὰ πιττάκιον τοῦ μαγίστρου ἀπολύει, ἤτοι ὁ σακκελλάριος τοῦ βασιλέως· (νῦν γὰρ εἰς αὐτὸν μετηνέχθη ἡ χρεία·) . . .

καὶ δεῖ τὸ βαλανεῖον τοῦ οἴκου ἐκείνου, ἐν ᾧ μέλλει οἰκεῖν, ἑτοιμασθῆναι, ἢ τὸ πλησίον αὐτοῦ, ἵνα, ὅτε βούλεται, καὶ αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ λούονται, καὶ αὐτοῖς μόνοις σχολάζει τὸ βαλανεῖον. καὶ ἐπὰν καταπλεύσῃ, δεῖ τὸν μάγιστρον πέμψαι βασιλικοὺς ἵππους· (δίδωσι δὲ αὐτοὺς ὁ σπαθάριος τοῦ βασιλέως·) . . .

καὶ ὅτε δόξῃ τῷ βασιλεῖ δέξασθαι αὐτὸν, πέμπει ἀπὸ ὀψὲ ὁ μάγιστρος σουαδίουβαν, καὶ δηλοῖ αὐτῷ ὅτι, „ἐκέλευσέν σε ὁ βασιλεὺς ροελθεῖν, καὶ πρόελθε." καὶ ὁ βασιλεὺς ὁμοίως πέμπει διουρίωνα, καὶ ἀσπάζεται αὐτὸν, καὶ δηλοῖ αὐτῷ ὅτι „τῇ ἑξῆς δεχόμεθά σε, καὶ πρόελθε."

. . . προέρχονται δὲ πάντες οἱ ἄρχοντες ἀπὸ ὁλοσηρίκων, καὶ εἰσέρχεται ὁ πρέσβεις διὰ τῆς ῥηγίας, καὶ δέχεται αὐτὸν ὁ μάγιστρος ἐν τῇ σχολῇ αὐτοῦ, καὶ ἐρωτᾷ αὐτὸν, εἰ ξένια ἔχει τοῦ βασιλέως, καὶ χρὴ αὐτὸν ἰδεῖν πάντα, πρὶν εἰσέλθωσιν, καὶ λαβεῖν τὴν γνῶσιν αὐτῶν. ὁ δὲ πρέσβης ἀναμένει ἐν τῇ σχολῇ τοῦ μαγίστρου. καὶ μεθὸ δεχθῶσιν οἱ ἄρχοντες καὶ εἰσέλθωσιν εἰς τὸ κονσιστώριον, δεῖ τὸν ἀδμισσιονάλιον καὶ τοὺς χαρτουλαρίους τῶν βαρβάρων καὶ τοὺς ἑρμηνευτὰς ἀναγαγεῖν τὸν πρέσβην, καὶ καθίσαι αὐτὸν ἐν τῷ ἀντικονσιστωρίῳ, δοῦναι δὲ τοὺς χαρτουλαρίους καὶ ἑρμηνευτὰς κιτατώριν τοῦ μαγίστρου τοῖς ἀδμισσιοναλίοις, καὶ τὰ ἄλλα γίνονται ὡς ἐν σιλεντίῳ. χρὴ δὲ τὸν μάγιστρον ἑτοιμάσαι κανδιδάτους ARMATUS καὶ πούερας εὐσχήμους τοὺς ἀκολουθοῦντας αὐτοῖς. . . .

μετὰ οὖν τὴν κιτατίονα τοῦ μαγίστρου εἰσέρχεται ὁ δηκουρίων εἰς τὸ μικρὸν κονσιστώριον, καὶ λαμβάνει τοὺς ἀρμάτους κανδιδάτους, καὶ ἐκβάλλει αὐτοὺς, καὶ ἵστησιν αὐτοὺς δεξιᾷ καὶ ἀριστερᾷ ἔμπροσ τῶν ἀρχόντων μετὰ τοὺς ὑπατικοὺς, καὶ τηνικαῦτα ἐξέρχεται ἔξω, καὶ ἐὰν ἴδῃ, ὅτι ἕτοιμός ἐστιν ὁ πρεσβευτὴς, κράζει ὁ δικουρίων „LEBA". καὶ ἐπαιρομένου τοῦ βήλου, ῥίπτει ἑαυτὸν ἔξω ὁ πρέσβης ἐπὶ τοῦ ἐδάφους, ἔνθα τὸ πορφυροῦν μάρμαρον, καὶ προσκυνεῖ, καὶ ἀνίσταται. καὶ μεθὸ εἰσέλθῃ τὸν πυλῶνα, πάλιν ῥίπτει ἑαυτὸν, καὶ προσκυνεῖ ἐπὶ τοῦ ἐδάφους, καὶ ἀνίσταται. καὶ πάλιν ἐν τῷ μέσῳ τοῦ κονσιστωρίου ὁμοίως προσκυνεῖ, καὶ τότε ἔρχεται καὶ φιλεῖ τοὺς πόδας, καὶ ἵσταται ἐν τῷ μέσῳ, καὶ ἐπιδίδωσι τὰ γράμματα, καὶ λέγει τὸν ἀσπασμὸν τοῦ βασιλέως αὐτοῦ. χρὴ οὖν ἐρωτῆσαι τὸν βασιλέα· „πῶς ὁ ἀδελφὸς ἡμῶν σὺν Θεῷ ὑγιαίνει; χαίρομεν ἐπὶ τῇ ὑγείᾳ αὐτοῦ," καὶ ὅσα θέλει ἐνδιάθετα ῥήματα, λέγει πρὸς τὸν πρεσβευτήν. μετὰ ταῦτα λέγει ὁ πρέσβης ὅτι „ὁ ἀδελφός σου ἔπεμψέν σοι δῶρα, καὶ παρακαλῶ δεχθῆναι αὐτά." καὶ ἐπιτρέπει τοῦτο ὁ βασιλεύς. καὶ ἐξέρχεται ὁ πρεσβευτὴς, καὶ μετὰ τῶν ἀνθρώπων αὐτοῦ βαστάζει τὰ δῶρα, καὶ εἰσέρχεται βαστάζων, αὐτὸς μὲν ἢ πάλλιν ἢ κοσμίδιν ἢ ὁτιδήποτε, ἐὰν ἔστιν τίμιον. τῶν δὲ ἄλλων ἕκαστος ἓν εἶδος βαστάζει. τότε δέχονται οἱ σιλεντιάριοι πάντα τὰ δῶρα, καὶ κίνδυνον ἔχουσιν καταγαγεῖν αὐτὰ κατὰ τὴν γνῶσιν τοῦ μαγίστρου εἰς τὴν βεστοσάκραν καὶ παραδοῦναι, καὶ γίνεται αὐτῶν διατίμησις, καὶ δεῖ τοὺς βεστοσακράνους τὴν διατίμησιν τῶν δώρων εὐθέως ἀγαγεῖν τῷ μαγίστρῳ, ὥστε εἰδέναι αὐτὸν, τί ἐστιν τὸ προσενεχθὲν, καὶ ἐν καιρῷ ἀντιδώρων ὑπομνῆσαι τὸν βασιλέα, τί χρὴ αὐτὸν ἀντιπέμψαι διὰ ἰδίων πρεσβευτῶν. τῶν δώρων οὖν προσενεχθέντων, λέγει ὁ βασιλεὺς τῷ πρέσβῃ· „ἀνάκτησαι σαυτὸν ὀλίγας ἡμέρας, καὶ εἴ τι ἔχομεν λαλῆσαι, λαλοῦμεν, καὶ μετὰ καλοῦ ἀπολύομέν σε πρὸς τὸν ἀδελφὸν ἡμῶν." καὶ εὐχαριστεῖ ὁ πρέσβης καὶ προσκυνεῖ, καὶ πάλιν προσκυνεῖ εἰς τοὺς αὐτοὺς τόπους, καὶ ἀναχωρεῖ. καὶ ἐπὰν χαλασθῇ τὸ βῆλον, ἵσταται ὁ δικουρίων, καὶ κιττεύει ὁ μάγιστρος „STRANFER," καὶ λαμβάνει τοὺς ἀρμάτους κανδιδάτους ὁ δικουρίων, καὶ ἐκβάλλει εἰς τὸ μικρὸν κονσιστώριον. καὶ τότε ἀνίσταται ὁ βασιλεὺς, καὶ τὰ λοιπὰ πάντα γίνεται κατὰ τὸ ἔθος. χρὴ δὲ τὸν πρεσβευτὴν κάτω ἀναμεῖναι εἰς τὴν σχολὴν τοῦ μαγίστρου, καὶ τὸν μάγιστρον κατελθεῖν καὶ συντάξασθαι αὐτῷ καὶ ἀπολῦσαι.

Κωνσταντίνου Ζ΄ Πορφυρογεννήτου
Περί βασιλείου τάξεως, εκδ. I.
Reiske (CSHB), Bonnae 1829, I.
89